**εὐπολίδειον / eupolidium (eupolidion)**

**1.** × × – × – ⏑ ⏑ – × × – × – ⏑ ⏓

Hephaest. 57. 18 sqq. καὶ τὸ εὐπολίδειον [τὸ] καλούμενον ἐπιχοριαμβικὸν πολυσχημάτιστόν ἐστιν, ἐν ᾧ τὰς τροχαικὰς παρὰ τάξιν ποιοῦσι δέχεσθαι τὸν σπονδεῖον· – ἐνίοτε δὲ καὶ ἀντισπαστικὸν καθαρὸν ποιοῦσιν – οἷον· (fr. 246 [PCG VIII, p. 85] Kassel-Austin)

εὐφράνας ἡμᾶς ἀπέπεμπ᾽ οἴκαδ᾽ ἄλλον ἄλλοσε

(Aristoph. *nub*. 529)

ὁ σώφρων τε χὠ καταπύγων ἄριστ᾽ ἠκουσάτην.

Schol. vet. in Aristoph. *nub*. 518e (p. 117. 14 sqq. Holwerda) παράβασις (ἣ καὶ ἀνάπαιστος· ἔστι δὲ τὸ μέτρον ἀσύστατον) στίχων με′. τὸ δὲ μέτρον καλεῖται εὐπολίδειον· ἔστι δὲ <ἐπιχοριαμβικόν, οὗ τὸ τροχαικὸν μέρος> οὐ κατὰ τάξιν δέχεται τοὺς σπονδείους, ἀλλ᾽ ἔστι τὸ ὅλον καθαρὸν ἀντισπαστικόν. EMRsNp

Schol. rec. in Aristoph. *nub*. 518b. 1 sqq. (p. 81 Koster) ⸢Tr$^{1/2}$ ὦ θεώμενοι] αὕτη Tr$^{2}$ ἡ παράβασις, ἣ καὶ μακρὸν καὶ πνῖγος ⸢καὶ ἀνάπαιστος, ὡς εἴρηται Tr$^{2}$, λέγεται, στίχων ἐστὶ τροχαικῶν τετραμέτρων καταληκτικῶν ⸢καὶ ἀκαταλήκτων Tr$^{1}$ με′, ὧν τελευταῖος· (v. 562)

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

⸢ἐπὶ τῷ τέλει παράγραφος. ὅτι ἐν πᾶσι τούτοις ἴαμβος ἐν τῇ τετάρτῃ εὕρηται χώρᾳ· καὶ καλεῖται τοῦτο τὸ μέτρον εὐπολίδειον Tr$^{2}$.

Schol. ald. in Aristoph. *nub*. 518c (p. 270. 26 sqq. Holwerda) τὸ δὲ μέτρον ἀσύστατον, εὐπολίδειον καλούμενον, στίχων τροχαικῶν τετραμέτρων καταληκτικῶν με′, ὧν τελευταῖος· (v. 562)

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

τὸ δὲ τροχαικὸν μέτρον κατὰ πᾶσαν μὲν χώραν δέχεται τροχαῖον καὶ σπονδεῖον πλὴν τῆς παρατελεύτου, μὴ ὄντος τοῦ μέτρου χωλοῦ, καὶ κατὰ μὲν τὰς περιττὰς τρίβραχυν καὶ δάκτυλον, εἰ τύχοι· τῶν δ᾽ ἀρτίων τὰς μὲν ἑτέρας ἀνάπαιστον καὶ οὓς ἔφην ἐγχωρεῖν πάσῃ χώρᾳ, ἰδίως δὲ τὴν τετάρτην ἐν τούτοις ἴαμβον.

Schol. vet. in Aristoph. *nub*. 520 (p. 118. 7 sq. Holwerda) οὐχ ἡ αὐτὴ (*scil.* ἡ παράβασις) δέ ἐστιν οὐδὲ τοῦ αὐτοῦ μέτρου τῇ ἐν ταῖς πρώταις Νεφέλαις, ἀλλ᾽ ἔστι τοῦ καλουμένου εὐπολιδείου. ENMRs

Sacerd. GL VI 536. 10 sqq. choriambicum eupolidium tetrametrum catalecticum fit primo pede ditrochaeo, secundo choriambo, tertio ditrochaeo, quarto, id est novissimo, amphimacro:

di boni servate Sacerdotem vos colentem vos.

Apthon. GL VI 144. 6 sqq. item trochaicum tetrametrum catalecticum quartum iambum habens, quod eupolidion vocatur:

Iuppiter vocatus adest, di favete ceteri.

Apthon. GL VI 145. 35 sqq. item trochaicum tetrametrum catalecticum quartum iambum habens, quod eupolidion dicitur:

Iuppiter vocatus adest, di favete ceteri.

**2.** ⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ –

Schol. Tricl. in Eur. *Or*. 807-818a (p. 59 de Faveri) τὸ ε′ ἐπιχοριαμβικὸν (scripsi, ἐπιχοραμβικὸν de Faveri) τρίμετρον ἀκατάληκτον, καλούμενον εὐπολίδειον, ἑκατέρωθεν ἔχον ἰαμβικὰς συζυγίας μέσον δὲ τὸν χορίαμβον, καὶ ἔστι τῶν πολυσχηματίστων.

**3.** ⏑ – ⏑ – ⏑ –

Apthon. GL VI 81. 21 sqq. dimetrum quoque (*scil*. iambicum), quod archilochium vocatur: (Hor. *epod*. 2. 1)

beatus ille qui procul:

id si fuerit brachycatalectum, eupolidion nominatur; sin vero catalecticum, anacreontion; sin autem hypercatalectum, alcaicon dicitur. [*L.S.*]